tamen erga inanimata est, vt vinum, vel huiusmodi aliud. Ideo neque eam quę est erga Deum quærimus amicitiam, neque eam quæ erga inanimata, sed quæ erga animata, atque erga ea, in quibus sit amare mutuò. Quòd si quis deinceps consideret, quid sit amabile, videndum est igitur num quicquam aliud, quàm per se bonum. Aliud nempe est amabile, & aliud amandum, quemadmodum consultabile, & consultandum: *consultabile enim siue potius optabile, est quod est simpliciter bonum: consultandum verò siue potius optandum & cupiendum cuique quod sibi est bonum:* vtrique enim bonum inest. Ita etiam amabile quidem simpliciter bonum: amandum verò, quod est sibi bonum. Iterum amandum quidem, etiam amabile: at amabile, non idem est, quod amandum. Hinc igitur & hac de causa est ambiguitas, num probus malo sit amicus, ánne? Connectitur nanque quodam modo per se bono, sibi bonum: & amandum, amabili. Bonum autem comitatur eíque inhæret iucundum esse, & commodum. Proborum igitur amicitia est, cùm se mutuò amauerint. Amant autem se inuicem, quatenus amabiles: & amabiles, quatenus boni. Non igitur probus, inquit, malo erit amicus. Atqui erit: quandoquidem per se bonum comitatur commodum, & iucundum. Si malus est, qui suauis, hac de causa amicus: rursus quatenus commodus, eatenus amicus. Verùm non erit ex eo quod est amabile eiusmodi amicitia. Siquidem amabile, bonum est. Atqui malus, non amabilis. Non ergo propter amabile, sed propter amandum. Sunt nanque ab vniuersali amicitia, quæ in ipsis probis est, & hæ quoque amicitiæ, quæ ex iucundo, & quæ ex cōmodo. Qui ergo propter iucundum amicus, non tenet propter bonum amicitiā: neque qui propter commodum. Atqui sunt hæ amicitiæ, quæ propter bonum, quæ propter iucundum, quæ propter commodū, non eædem quidem, sed nec prorsus quidem inter se inuicē alienæ: sed ab eodem quodam modo dictæ sunt: velut medicum cultellum dicimus, medicū hominem, & medicā scientiam. Hæc non similiter dicuntur: sed cultellus, quòd ad medicinam vtilis sit, medicus dicitur: at homo, quòd sanitatem faciat: scientia verò, quòd sit causa atque principium. Itidem & amicitiæ non itidē dicuntur, quippe quæ proborū, propter bonum, & quæ propter iucundum, & quæ propter cōmodū. Neq. dicūtur æquiuocè: verùm nō sunt eædē, circa hæc quodāmodo, ac ex eisdē.

A οἷον οἶνον, ἢ ἄλλο δή τι τῶν τοιούτων. διὸ οὔτε τὴν πρὸς τὸν θεὸν φιλίαν ἐπιζητοῦμεν, οὔτε τὴν πρὸς τὰ ἄψυχα, ἀλλὰ τὴν πρὸς τὰ ἔμψυχα, καὶ πρὸς ταῦτα ἐν οἷς ἐστὶ τὸ ἀντιφιλεῖν. εἰ δή τις μετὰ τοῦτο ἐπισκέψαιτο τί ἐστι τὸ φιλητόν· ἔστιν οὖν οὐκ ἄλλό τι ἢ τἀγαθόν. ἕτερον μὲν οὖν ἐστι τὸ φιλητὸν, καὶ τὸ φιλητέον, ὥσπερ καὶ τὸ βουλητὸν, καὶ τὸ βουλητέον. βουλητὸν μὲν γὰρ, τὸ ἁπλῶς ἀγαθόν. βουλητέον δὲ, τὸ ἑκάστῳ ἀγα- B θόν. οὕτω καὶ φιλητὸν μὲν, τὸ ἁπλῶς ἀγαθόν· φιλητέον δὲ, τὸ αὑτῷ ἀγαθόν. ἔστι δὲ τὸ μὲν φιλητέον καὶ φιλητὸν, τὸ δὲ φιλητὸν οὐκ ἔστι φιλητέον. ἐνταῦθα οὖν ἐστι καὶ διὰ τὸ τοιοῦτον ἡ ἀπορία, πότερόν ἐστιν ὁ σπουδαῖος τῷ φαύλῳ φίλος, ἢ οὔ. συνῆπται γάρ πως τῷ ἀγαθῷ, τὸ αὑτῷ ἀγαθὸν, καὶ τὸ φιλητέον τῷ φιλητῷ. ἕπεται δὲ καὶ ἀκολουθεῖ τῷ ἀγαθῷ καὶ τὸ ἡδὺ C εἶναι, καὶ τὸ συμφέρον· ἡ μὲν οὖν τῶν σπουδαίων φιλία ἐστὶν, ὅταν ἀντιφιλῶσιν ἀλλήλους. φιλοῦσι δὲ ἀλλήλους, ᾗ φιλητοί· φιλητοὶ δὲ, ᾗ ἀγαθοί. οὐκ οὖν σπουδαῖός φησι τῷ φαύλῳ οὐκ ἔσται φίλος; ἔσται μὲν οὖν. ἐπειδὴ γὰρ τἀγαθῷ ἠκολούθει τὸ συμφέρον καὶ τὸ ἡδὺ, ᾗ ἐστὶ φαῦλος ὢν ἡδὺς, ταύτῃ φίλος. πάλιν αὖ συμφέρων, ᾗ συμφέρων, ταύτῃ φίλος. ἀλλ' οὐκ ἔσται γε κατὰ τὸ φιλητὸν ἡ τοιαύτη φιλία. D φιλητὸν γὰρ ἦν τἀγαθὸν, ὁ δὲ φαῦλος οὐ φιλητός· οὐ γὰρ ἀλλὰ κατὰ τὸ φιλητέον. εἰσὶ γὰρ ἀπὸ τῆς παντελοῦς φιλίας, τῆς ἐν τοῖς σπουδαίοις, καὶ αὗται αἱ φιλίαι, ἥ τε κατὰ τὸ ἡδὺ, καὶ ἡ κατὰ τὸ συμφέρον. ὁ οὖν κατὰ τὸ ἡδὺ φιλῶν, οὐ φιλεῖ τὴν κατὰ τὸ ἀγαθὸν φιλίαν, οὐδὲ ὁ κατὰ τὸ συμφέρον. εἰσὶ δὲ αἱ φιλίαι αὗται, ἥ τε κατὰ τὸ ἀγαθὸν, καὶ ἡ κατὰ τὸ ἡδὺ, καὶ ἡ κατὰ τὸ συμφέρον, οὐχ E αἱ αὐταὶ μὲν, οὐ παντελῶς δὲ οὐδὲ ἀλλότριαι ἀλλήλων, ἀλλ' ἀπὸ ταὐτοῦ πως ἠρτημέναι εἰσίν· οἷον φαμὲν ἰατρικὸν τὸ μαχαίριον, ἰατρικὸν τὸν ἄνθρωπον, καὶ ἰατρικὴν τὴν ἐπιστήμην, ταῦτα οὐχ ὁμοίως λέγονται· ἀλλὰ τὸ μὲν μαχαίριον τῷ χρήσιμον εἶναι πρὸς ἰατρικὴν, ἰατρικὸν λέγεται· ὁ δὲ ἄνθρωπος, τῷ ποιητικὸς εἶναι ὑγιείας· ἡ δὲ ἐπιστήμη, τῷ αἰτία εἶναι F καὶ ἀρχή. ὁμοίως δὲ καὶ αἱ φιλίαι οὐχ ὡσαύτως, ἥ τε τῶν σπουδαίων ἡ διὰ τὸ ἀγαθὸν, καὶ ἡ κατὰ τὸ ἡδὺ, καὶ ἡ κατὰ τὸ συμφέρον· οὔτε δὴ ὁμωνύμως λέγονται· ἀλλ' οὐκ εἰσὶ μὲν αἱ αὐταί, περὶ ταὐτὰ δέ πως, καὶ ἐκ τῶν αὐτῶν εἰσιν.

Quòd